κυνθον ἤγαγε μεθ' ἑαυτοῦ· ὃν καὶ ἰδὼν ὁ Κορυδαλλεὺς, ᾐτήσατο ὡς ἐν τάξει ἔχειν ὑπηρέτου, ἀλλὰ χρόνος βραχὺς καὶ ὁ παῖς αὖθις μετὰ τοῦ Εὐγενίου ἦν· Γρηγόριος ἦν οὗτος ὁ Μάνεσις, ὁ πρῶτος τῶν αὐτοῦ χρηματίσας ὁμιλητῶν, περὶ οὗ καὶ αὖθις εἰρήσεται ἡμῖν, προϊόντος τοῦ λόγου· τοῦτον ἐν τῇ Ζακύνθῳ ἔχων μεθ' ἑαυτοῦ πρὸς χρόνον τότε βραχὺν, εἰς τὸ Ἀνατωλικὸν ἀνέπεμψε τὴν ἑαυτοῦ πατρίδα, βουλόμενος αὖθις αὐτὸν ἀναλαβεῖν μετὰ τὴν τῆς φροντίδος τῶν μαθημάτων ἀπαλλαγήν.

Θείᾳ δέ τινι κατ' ἐκεῖνο καιροῦ προνοίᾳ τοῦ τῆς Ἀλεξανδρέων προέδρου Κυρίλλου (οὗτινος καὶ ἀνωτέρω μνείαν ἐποιησάμεθα) ἐκεῖθεν ἐπὶ τὸν τῆς Κωνσταντινουπόλεως πατριαρχικὸν τὸ δεύτερον ἀναχθέντος θρόνον, ἐπιστολὴ παρὰ Θεοφίλου πέμπεται πρὸς αὐτὸν ἐκ Ζακύνθου, ἐγκωμιαστική τε ἅμα καὶ συγχαριστική, (ἥτις καὶ ἐν τῷ τῶν ἐπιστολικῶν αὐτοῦ τύπων ἐγχειριδίῳ, τῷ διὰ συνδρομῆς τοῦ ἀρχιεπισκόπου Κεφαλληνίας Νικοδήμου τοῦ Μεταξᾶ, μαθητοῦ καὶ αὐτοῦ σὺν τῷ προρρηθέντι Παϊσίῳ χρηματίσαντος, τυπωθέντι μετὰ τῶν ἄλλων φέρεται)· ἐξ ἧς ὁ ἱερώτατος Κύριλλος ἀφορμῆς δραξάμενος, εἰ καὶ ἐκ πολλῶν χρόνων ἐτύγχανε τοῦτον εἰδὼς, πανταχοῦ γὰρ ἐφοίτα διὰ τῆς φήμης, ὡς οὐδενὸς δεύτερος τῶν κατὰ τὴν περιπατητικὴν καλουμένην φιλοσοφίαν ἐν τοῖς τότε χρόνοις λαμψάντων, γράμμασι μεταπέμπεται τοῦτον παρακλητικοῖς ἐπὶ τὴν Κωνσταντίνου ἐλθεῖν, πάντα ὑπισχνούμενος αὐτῷ τὰ πρὸς διαγωγὴν φιλοσόφου ἀνδρὸς συντείνοντα· καὶ δὴ καὶ εἶχε τοῦτον πειθόμενον. Ἔνθεν τοι καὶ τῆς Ζακυνθίων ἀπάρας διὰ τοῦ Κορινθιακοῦ κόλπου Ἀθήναζε παρεγένετο, συνεπόμενον αὐτῷ καὶ συνοδοιπόρον ἔχων Εὐγένιον· θεασάμενος δὲ τοὺς οἰκείους ἅμα καὶ συμπολίτας, καὶ τῆς ἐκ τῆς πατρίδος παραμυθίας ἀπολελαυκὼς, ἐν ὅσῳ αὐτόθι διέτριβε, καὶ τὴν κατὰ πεῦσιν καὶ ἀπόκρισιν συνέθετο λογικὴν, φιλολόγων τινῶν νέων τῶν ἐξ